ἐγγάφετο, Εἴτοι δοκεῖ ταῦτα σφῷν, ταῦτα χ᾽ ἡμῖν ξυνδο-
κεῖ. διὸ τὸ πρότερον ταῦτα μέτρου χάριν ἐκβλητέον ἐδόκει.

A τὸ δὲ σφῷν, δυικὴ δοτική ἐστι τοῦ σύ. σφῶϊν, σφῷν. τουτέστιν
Λυσιστράτῃ καὶ Λαμπιτοῖ.

Λα. Καὶ τὼς μὲν ἁμῶν ἄνδρας ἁμὲς πείσομες
Πάντα δικαίως ἄδολον εἰράναν ἄγειν.
Τὸν τῶν Ἀσαναίων γα μὰν ῥυγχάχετον,
Πᾶ κἀν τίς ἂν πείσειεν αὖ μὴ πλαδδιῆν.
Λυ. Ἡμεῖς ἀμέλει σοι τά γε παρ᾽ ἡμῖν πείσομεν.
Λα. Οὐ λισπόπυγας ἔχοντι ταὶ τριήρεες
Καὶ τἀργύριον τὤβυσσον ᾖ πὰρ τᾷ σιῷ.
Λυ. Ἀλλ᾽ ἔστι καὶ τοῦτ᾽ εὖ παρεσκευασμένον.
Καταληψόμεθα γὰρ τὴν ἀκρόπολιν τήμερον.
Ταῖς πρεσβυτάταις γὰρ προστέτακται τοῦτο δρᾶν;
Ἕως ἂν ἡμεῖς ταῦτα συντιθώμεθα,
Θύειν δοκούσαις καταλαβεῖν τὴν ἀκρόπολιν.
Λα. Πάντα κ᾽ ἔχοι, καὶ τάδε γὰρ λέγεις καλῶς.
Λυ. Τί δῆτα ταῦτ᾽ οὐχ ὡς τάχιστα Λαμπιτοῖ
Ξυνωμόσαμεν ὅπως ἂν ἀρρήκτως ἔχῃ.
Λα. Πάρφαινε μὰν τὸν ὅρκον ὡς ὀμιώμεθα.
Λυ. Καλῶς λέγεις, ποῦ ᾽σθ᾽ ἡ Σκύθαινα. ποῖ βλέπεις.
Θὲς ἐς τὸ πρόσθεν ὑπτίαν τὴν ἀσπίδα.
Καί μοι δότω τὰ τόμια τίς. Κα. Λυσιστράτη.
Τίν᾽ ὅρκον ὁρκώσεις ποθ᾽ ἡμᾶς. Λυ. ὅντινα;
Εἰς ἀσπίδ᾽ ὥσπερ φάσ᾽ ἐν Αἰσχύλῳ ποτὲ,
Μηλοσφαγούσας. Κα. μὴ σύ γ᾽ ὦ Λυσιστράτη
Εἰς ἀσπίδ᾽ ὀμόσῃς μηδὲν εἰρήνης πέρι.
Λυ. Τίς ἂν οὖν γένοιτ᾽ ἂν ὅρκος. Κα. εἰ λευκόν ποθεν
Ἵππον λαβοῦσαι τόμιον ἐκτεμοίμεθα.
Λυ. Ποῖ λευκὸν ἵππον. Κα. ἀλλὰ πῶς ὀμούμεθα
Ἡμεῖς. Λυ. ἐγώ σοι νὴ Δί᾽ ἢν βούλει φράσω.
Θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν.
Μηλοσφαγοῦσαι Θάσιον οἴνου σταμνίον
Ὀμόσωμεν ἐς τὴν κύλικα μὴ ᾽πιχεῖν ὕδωρ.
Κα. Φεῦ δὰ τὸν ὅρκον ἄφατον ὡς ἐπαινέω.
Φερέτω κύλικά τις ἔνδοθεν καὶ σταμνίον.
Λυ. Ὦ φίλταται γυναῖκες κεραμέων ὅσος.
Ταύτην μὲν ἄν τις εὐθὺς ἥσθείη λαβών.
Καταθεῖσα ταύτην, προσλαβέ μου τοῦ κάπρου.
Δέσποινα Πειθοῖ, καὶ κύλιξ φιλοτησία
Τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.
Κα. Εὔχρων γε θ᾽ αἷμα κἀποπυτίζει καλῶς.
Λα. Καὶ μὰν ποτόδδει γ᾽ ἁδὺ ναὶ τὸν Κάστορα.
Λυ. Ἐᾶτε πρώτην μ᾽ ὦ γυναῖκες ὀμνύναι.
Κα. Μὰ τὴν Ἀφροδίτην οὐκ ἐάν γε μὴ λάχῃς.

LA. *Et ista nostris nos viris suadebimus*
*Vt absque fraude Pacem vbique sanciant:*
*Nam quis potesset hunc Atheniensium*
*Torrentem abactum arcere ne nos impetat.*
B LVS. *Tecum hoc apud nos exsequemur sedulò.*
LA. *Non quo modo triremibus sunt fœdera*
*Cum copia auri sub dea templo latet.*
LVS. *At optime isti iam rei prouidimus,*
*Hodie vrbis arces huius occupabimus,*
*Mandata quippe senibus hæc prouincia est,*
*Arces potiri, sacra dum patrant deæ*
*Consulta donec ista perfecerimus.*
C LA. *Pulchrè ista dicis, & benè hæc se res habet.*
LVS. *Cur Lampito ergo, iureiurando hæc simul*
*Non sanximus nos vt sient firma & rata?*
LA. *Iuremus vt nos, verba iuranda incipe.*
LVS. *Benè ais, vbi est Scythæna? quò nunc respicis?*
*Clypeum supinum ponito anteriùs ferens,*
*Quis hostias huc sistet?* CAL. *ô Lysistrata,*
D *Cui alligas nos iureiurando?* LVS. *Cui?*
*Quod factitatum in Æschulo ferunt, super*
*Clypeo pecus mactabimus.* CA. *Lusistrata*
*Iurare Pacem aut fœdus in clypeo caue.*
LVS. *Quod ergo iusiurandum erit?* CA. *si fortè equum*
*Album exsecantes immolemus victimam.*
LVS. *sed vnde equum album?* CA. *at quo modo iurabimus?*
E LVS. *Iam per Iouem istud si lubet dicam tibi,*
*Si stet supinum grande nigrum poculum,*
*Thasii immolantes seriam super meri*
*Iuremus illuc nil aquæ instillassere.*
CA. *Quàm suauis & laudanda coniuratio est!*
LVS. *Huc sistat aliquis poculum cum seria:*
F *Proh quanta, charæ fœminæ, fidelia est*
*Quam nempe si quis sumpserit, lætabitur,*
*Porcum apprehendens tu meum, pone amphoram*
*O Suada Domina. tum propinator calix*
*Cape has benignè victimas nobis fauens.*
CA. *Color cruoris optimus pulcrùm strepit.*
LA. *Quin & suauis est perecastor odos.*
LVS. *Vt prima iurem, ô fœminæ, concedite.*
G CA. *Ni sorte cedat, per Cyprin non iuerim.*

BISETVS. Καὶ τώς.] ὁ Ἀριστοφάνης ἐν ὅλῳ τῷ δράματι τούτῳ, τὸ προσώποις ἑκάστοις πρέπον ἀκριβῶς τηρεῖ, καὶ γὰρ τὰς Ἀττικὰς γυναῖκας Ἀττικῶς λαλούσας, τὰς δὲ Λακαίνας, τῇ πατρίῳ, τουτέστι τῇ Λακωνικῇ διαλέκτῳ χρωμένας εἰσάγει. ὡς καὶ ἐν τούτῳ δῆλον. ταῦτα καὶ οὕτως ἑρμηνευτέον. τοὺς μὲν ἡμῶν ἄνδρας ἡμεῖς πείσομεν κατὰ πάντα τὴν εἰρήνην ἄδολον, δικαίως ἄγειν, καὶ φυλάττειν. τὸ δὲ, τὼς, ἁμῶν, ἁμές, πείσομες, καὶ εἰράναν, Δωρικά ἐστιν.

αὐτ